www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΒΒΑΝ ΙΣΑΑΚ
## ΤΟΝ ΣΥΡΟΝ,
## ΕΠΙΣΚΟΠΟΝ ΝΙΝΕΥΪ

* * *



Συντεθεὶς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

* 1994 *



www.tezaurliturgic.ro



## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΑΒΒΑΝ ΙΣΑΑΚ, ΕΠΙΣΚΟΠΟΝ ΝΙΝΕΥΪ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῆς μετανοίας τὴν χριστόρειθρον γλῶτταν, τῆς κατανύξεως καὶ πένθους ἐργάτην, διδάσκαλον θεόπνευστον χοροῦ τῶν μοναστῶν, Ἰσαὰκ τὸν πάνσοφον, ἱκετεύσωμεν πόθῳ, ὅπως ἅπερ γέγραφεν ἐν τῇ βίβλῳ εἰς πρᾶξιν,

www.tezaurliturgic.ro



μεταποιήσωμεν προθύμως ἀδελφοί, καὶ αἰωνίαν, ζωὴν ἀπολαύσωμεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους, οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

www.tezaurliturgic.ro



Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ὁ Ν΄, μεθ' ὃν ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:

**"Ἀββᾶ Ἰσαάκ, δὸς ἡμῖν εὐχὴν ἐν μετανοίᾳ.Ἀ(θανάσιος)**

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.

Ἀγγέλων πολίτευμα διελθών, διδάσκεις πανσόφως τὸν ἀγῶνα κατὰ παθῶν, ἀββᾶ Ἰσαὰκ τοῖς μελετῶσι, ἐν προσοχῇ θεοχάρακτον βίβλόν σου.

Βαρύνει ἀμέλεια τὴν ψυχήν, Ἀββᾶ ἑκουσίως, καὶ σκοτίζει τὸν λόγισμόν, ταῖς σαῖς ἱκεσίαις ἔγειρόν με, πρὸς ἐργασίαν σωτήριον δέομαι.

Βασίλισσα πέλει τῶν ἀρετῶν, ἡ θεία ἀγάπη, καὶ ὁ ἔρως πρὸς τὸν Θεόν, ὧν Πάτερ στερούμενος αἰτοῦμαι, ταῦτα μοι δοῦναι ἁγίαις πρεσβείαις σου.

Θεοτοκίον

Ἀθάνατον ἔχων μου τὴν ψυχήν, οὐδόλως μοι μέλει, Θεοτόκε περὶ αὐτῆς, παρόντων φροντίζων οὐ μενόντων, ὅθεν βοῶ σοι ἀνάνηψιν δίδου μοι.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἰσαὰκ θεοφόρε καταγελῶν ἔλιπες, πάντα τὰ ἡδέα τοῦ κόσμου, κατὰ τὴν κλῆσίν σου, Θεὸν θηρώμενος, Ὃν

σχὼν ἐν μέσῃ καρδίᾳ, πάντοτε ἱκέτευε, ὑπὲρ τῶν δούλων σου.

Συνεχῶς ἁμαρτάνων, τὸν Ἰησοῦν Ὅσιε, τὸν γλυκὺν λυπῶ ἀναισθήτως ἐπιδεικνύμενος, θέλημα ὅπερ μου, εὐχαῖς σου σύντριψον πάτερ, καὶ πραῢν ἀνάδειξον, τὸν ἀνυπότακτον.

Ἀδεῶς μου τὸν βίον, ἐκδαπανῶ Ὅσιε, καὶ ἐν πρακτικῇ ἀθεΐᾳ διαπορεύομαι, ὅθεν τὴν αἴσθησιν, τῆς πανταχοῦ παρουσίας, τοῦ Δεσπότου δώρησαι, τὴν ἐγερτήριον.

Θεοτοκίον

Ἁγνοτάτη καθ' ὅλα, τὴν τοῦ Θεοῦ εἵλκυσας, Χάριν Παναγία Παρθένε, ἐγὼ δὲ κάλλος μου, ψυχῆς ἠμαύρωσα, παντοδαπαῖς αἰσχρουργίαις, ὧν με ῥῦσαι Δέσποινα, τῇ μεσιτείᾳ σου.

Διάσωσον, ἀπὸ παθῶν ψυχοφθόρων τοὺς σοὺς ἱκέτας, ὦ Ἀββᾶ Ἰσαὰκ ὡς ἰσάγγελος, καὶ λύτρωσαι ἡμᾶς δεινῆς, τυραννίας δαιμόνων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Ἀββᾶ Ἰσαάκ, διδάσκαλε θεώσεως, δακρύων κρουνούς, ἐν κατανύξει δώρησαι, ὅπως πλύνω ὅσιε, τῆς ψυχῆς μου τὸν βόρβορον, καὶ σὲ δοξάζω ἀεί, ὡς σωτηρίας πρόξενον.

ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.

www.tezaurliturgic.ro



Κύνας Πάτερ ἐκδίωξον, τοὺς φιλομακέλλους κατασπαράξαι μου, τὴν καρδίαν ἀναμένοντας, καὶ ἀλλοτριῶσαι τοῦ Δεσπότου μου.

Δεδεμένον ἀφύκτως με, τοῖς πλημμελημάτων δεσμοῖς μακάριε, ἐλευθέρωσον σοῦ δέομαι, ἵνα πετασθῶ πρὸς τὰ οὐράνια.

Ὁ καιρός μου παρέρχεται, ἄκαρπος Ἀββᾶ μου καὶ τί γενήσωμαι; σπεῦσον τόνωσον ἰσχύας μου, καὶ τῆς παραλύσεως ἐξέγειρον.

Θεοτοκίον

Σοὶ προσπίπτω Πανάμωμε, τῇ διασῳζούσῃ τοὺς ἁμαρτάνοντας, καὶ Κυρίῳ ἐπιστρέφοντας, διὰ τῆς ἁγίας μεσιτείας σου.

ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἤδη ὁ καιρός, τῆς ζωῆς Ἀββᾶ συντέτμηται, καὶ ὡς ἡ ἄκαρπος συκῆ τὴν ἐκκοπήν, πτοοῦμαι σπεῦσον, ἐν ἐσχάτῃ ὥρᾳ σῶσόν με.

Μέγας ὁ ποιῶν, ἀγρυπνίαν λέγεις Ὅσιε, τοῖς ἀσωμάτοις ἁμιλλώμενος, διὸ ὑπνοῦντα, πρὸς ἐγρήγορσίν με ἔγειρον.

Ἴσχυσεν Ἀββᾶ, ἡ συνήθεια καὶ ἕλκει με, ὥσπερ δήμιος τὸ θῦμα πρὸς σφαγήν, ὅθεν βοῶ σοι· λογισμούς μου ἐξαλλοίωσον.

Θεοτοκίον

www.tezaurliturgic.ro



Νοῦν μου Ἀγαθή, τὸν ἀκράτητον συμπέδησον, τῇ σωτηρίῳ μνήμῃ γλυκυτάτου Ἰησοῦ, ὅπως ἐκφύγω, τῆς δουλείας τοῦ ἀλάστορος.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Εὐλόγησον, τὴν μικράν μου Ὅσιε, λειτουργίαν ἣν προσάγω Κυρίῳ, καὶ τὸν πτωχόν, ὀβολὸν πλήθυνόν μου, εἰς ἑκατὸν ἀρετῆς τὰ νομίσματα, ἀκούει γὰρ τὴν σὴν εὐχήν, ὁ Δεσπότης πληρῶν τὰ αἰτήματα.

Ὑψώσας μου, λογισμὸν ἐκπέπτωκα, ὡσεὶ κέδρος ὑψηλὴ τοῦ Λιβάνου, σαῖς προσευχαῖς, Ἰσαὰκ θεοφόρε, ἐν ταπεινώσει τὸν βίον περάσαι με, ἀξίωσον καὶ ἐφεξῆς, τῷ Χριστῷ εὐαρέστως πορεύεσθαι.

Χαλίνωσον, ἀναιδές μου ὄρνεον, ὡς ἐκάλεσας νοὸς τὰς κινήσεις, σεπτὲ Ἀββᾶ, καὶ εὐχῇ τοῦτον θρέψον, ἵνα πτωμάτων μὴ θέλῃ τὴν σκύλευσιν, καὶ πότισόν με δαψιλῶς, τῇ πηγῇ τῶν δακρύων τρισόλβιε.

Θεοτοκίον

Ἠνέῳξας, τοῖς ἀνθρώποις Δέσποινα, τῆς ζωῆς τῆς ἀληθοῦς θείαν θύραν, ἣν ὡς στενήν, ἀξιώσαις περάσαι, κἀμὲ τὸν ῥάθυμον σφόδρα πρεσβείαις σου, καθαίρουσα τὸ ὀπτικόν, τῆς ταλαίνης ψυχῆς μου ἐν δάκρυσι.

Διάσωσον, ἀπὸ παθῶν ψυχοφθόρων τοὺς σοὺς ἱκέτας, ὦ Ἀββᾶ Ἰσαὰκ ὡς ἰσάγγελος, καὶ λύτρωσαι ἡμᾶς δεινῆς, τυραννίας δαιμόνων.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.

www.tezaurliturgic.ro



Τῇ σῇ βίβλῳ ἐδίδαξας ἄπειρα, μοναστῶν καὶ μιγάδων συστήματα, ὅθεν Πάτερ, εὐγνωμοσύνης δέχου τὰς φωνάς, Ἀββᾶ Ἰσαὰκ καὶ πρὸς παθῶν, τὴν ἐκκοπὴν δίδου ἡμῖν, πατρικὴν εὐλογίαν σου, ὅπως κεκαθαρμένοι, ζήσωμεν ἐν Κυρίῳ, καὶ συναφθῶμεν μυστικῶς, εἰς αἰῶνα ἀτελεύτητον.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.

**ΕΥΑΓΓΕΛΙΟΝ**

Ἐκ τοῦ κατὰ Ματθαῖον

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Ἰσαὰκ μακάριε, τῶν ἀσκητῶν μέγα κλέος, ἱσταμένων στήριγμα, πεπτωκότων ἔγερσις, καὶ διδάσκαλε, τῶν ποθούντων κάθαρσιν, καὶ μετὰ Κυρίου, τὴν σωτήριον συνένωσιν, σὲ ἱκετεύομεν, δὸς ἡμῖν εὐχῶν σου βοήθειαν, καὶ σκεύη τιμιώτατα, ἀπὸ ἀναξίων ἐξάγαγε· ὅπως εὐγνωμόνως, τιμῶμέν σου τὴν μνήμην τὴν σεπτήν, καὶ τὸν Δεσπότην δοξάζωμεν, σὲ ὑπερδοξάσαντα.

www.tezaurliturgic.ro



Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.

Νῆψιν Ἀββᾶ χαρίσαις πᾶσι, τοῖς τὴν βίβλον σου ἐκ πόθου μελετῶσι, καὶ ποθοῦσι τὸν σὸν, μιμεῖσθαι θεῖον βίον, ὅπως εὐχὴν κτησώμεθα, ἐν γνησίᾳ μετανοίᾳ.

Εὗρες τὸν θεῖον Μαργαρίτην, δι᾽ ὃν πέπρακες τὸν ἅπαντά σου βίον, καὶ πλουτήσας Ἀββᾶ, τῇ ἀρετῶν ἀσκήσει, ταύτας ἡμῖν ὡς φρόνιμος, οἰκονόμος μεταδοίης.

Νέκρωσον φρόνημα τοῦ κόσμου, ὦ θνησίζωε ἐκ τῆς ἡμῶν καρδίας, καὶ τὴν μνήμην ἀεί, θανάτου ἐγκαινίσαις, ὅπως Χριστῷ συζήσωμεν, Ἰσαὰκ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Μόνη ὑπάρχεις σωτηρία, Παναμώμητε ἐλπὶς ἀπηλπισμένων, διὸ πρόσχες κἀμοῦ, φωνῆς ἀπηλπισμένου, καὶ δωρεὰν παράσχου μοι, Παραδείσου θεῖον κλῆρον.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει.

Ἐλεήμων ὡς ἔχων τὴν καρδίαν, πάντας ἤθελες σωθῆναι ἐν Κυρίῳ, διὸ καῦσιν τὴν σήν, μετάδος μοι ὦ Πάτερ, τῷ ἐψυγμένῳ πάθεσι, καὶ παντοίαις ἁμαρτίαις.

Τρέμω Πάτερ τὴν τελευταίαν ὥραν, τῆς ἐτάσεως, ὡς φύλλον ἐξ ἀνέμου, ἔνδυσόν με γυμνόν, ἐσθῆτι τῇ τοῦ γάμου, μήπως τοῦ Δείπνου μέτοχος, κἀγὼ γένωμαι εὐχαῖς σου.

Ἄγγελός τις ὡς σεσωματωμένος, καὶ ἀσκήσεως, ὢν λύχνος φωτοφόρος, δίδαξόν με πῶς δεῖ, Θεῷ εὐαρεστῆσαι, καὶ μὴ ἀκάρπως δόλιχον, μοναζόντων διατρέξω.

www.tezaurliturgic.ro



Θεοτοκίον

Νίκην δίδου ἀεὶ κατὰ ἐχθρῶν μου, Παναμώμητε, σαῖς θείαις ἱκεσίαις, ἵνα μὴ δι’ ἐμὲ βλασφημηθῇ Υἱός σου, Χριστὸς Ὃν περ δοξάζομεν, οἱ πιστοὶ εἰς τοὺς αἰῶνας.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Οὐράνιον ὡς μάννα σαὶ διδαχαί, καὶ ποτὸν ὡς ἐκ πέτρας γνωρίζονται τοῖς μονασταῖς, ὧν καταγλυκαίνουσι δαψιλῶς, καρδίας καὶ συντείνουσιν, εἰς τὸν ἐν Χριστῷ ἀνακαινισμόν, οὗ Ἰσαὰκ θεόφρον, ἡμᾶς καταξιώσαις, τοὺς ἐντρυφῶντας τοῖς πυξίοις σου.

Ἰᾶσαι πρακτικώτατε ἰατρέ, ψυχοφθόρων παθῶν ἀναγνώστας σου καὶ τὰς πληγάς, ἐν ἐλαίῳ πίονι θαυμαστῶς, καθαίρεις ἐξ ὧν ἔμαθες ὤν ἐν τῇ ἐρήμῳ Ἀββᾶ σοφέ, διὸ ἀντίμισθόν σοι, τὸν ὕμνον τοῦτον δέχου, ὅν εὐγνωμόνως ἀναμέλπομεν.

Ἀέρα ἧττον ἔπνεις τοῦ Ἰησοῦ, Ἰσαὰκ ὅθεν τούτῳ συγγέγονας, ἐξ Οὗ τὸ πᾶν, ῥῆμα ἀπεξήντλησας καὶ γραφαῖς, ἡμῖν κλῆρον παρέδωκας, ὑπὲρ πλοῦτον πρόσκαιρον καὶ φθαρτόν, δι’ οὗ υἱοὺς γενέσθαι, τῆς θείας Βασιλείας, τοὺς σὲ γεραίροντας ἀξίωσον.

Θεοτοκίον

Ἀκένωτος ὑπάρχουσα ποταμός, τῶν χαρίτων τοῦ Πνεύματος Δέσποινα, δίδου ἡμῖν, τοῖς ἀνευφημοῦσί σε ἐκ ψυχῆς, τὸ ὕδωρ τὸ σωτήριον, καὶ τῆς Βασιλείας ἀναψυχήν, πρεσβεύουσα Κυρίῳ, σὺν Ἰσαὰκ τῷ μύστῃ, καὶ λατρευτῇ σου Θεονύμφευτε.

εἶτα τό,

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ

www.tezaurliturgic.ro



Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

καὶ τὰ Μεγαλυνάρια

Σύρος ὢν τὸ γένος τὸ σαρκικόν, ἄγγελος Κυρίου ἀνεδείχθης ὦ Ἰσαάκ, σάλπιγγι ἀγάπης, μετάνοιαν κηρύττων, καὶ σωτηρίας τρίβον, εὐθύνων λόγοις σου.

Ἀρχιερωσύνης τὸν στολισμόν, πόθῳ ἡσυχίας, καταλέλοιπας Ἰσαάκ, καὶ ἐπενεδύθης, τοῦ Πνεύματος τὴν Χάριν, δι' ἧς τοὺς πεπτωκότας, ἐγείρεις πάνσοφε.

Μοναστῶν παιδεύεις Ἀββᾶ χορούς, δίαυλον βαδίζειν, ἐν ἀσκήσει καθαρτικῇ, καὶ Χριστὸν διώκειν, πάσῃ ψυχῆς δυνάμει, τὸν πλοῦτον Βασιλείας, διδόντα ἄφθονον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ'ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

www.tezaurliturgic.ro



Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ στιχηρὸν προσόμοιον.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

Νέας Διαθήκης Ἰσαάκ, τὸν ἐγκαινισμὸν τῆς καρδίας σοφῶς διδάσκοντα, δεῦτε εὐφημήσωμεν καθικετεύοντες· τῶν ρευμάτων τοῦ Πνεύματος, ἀξίωσον Πάτερ, πάντας τοὺς τὴν βίβλόν σου ἀναγινώσκοντας, ὅπως ἐν καρποῖς μετανοίας, ἴδωμεν προσώπου Κυρίου, κάλλος τὸ ἀμήχανον πρεσβείαις σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

Στίχοι

Σφάττειν πονηροὺς υἱοὺς τῇ κατανύξει,
Ἀββᾶ Ἰσαάκ, ἀξίωσον σοὺς δούλους.

www.tezaurliturgic.ro



Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ὁ παρὼν Παρακλητικὸς κανὼν εἰς τὴν ἐν Ἁγίῳ Ὄρει Ἄθω Ἱερὰν Μονὴν Σίμωνος Πέτρας, τῇ 29ῃ Νοεμβρίου 1994.